τὸν βασιλέα Γινέσθω οὕτως· ἐὰν μὴ παραδείξω ὅτι οὐκ ἔστιν ὁ 𝔊
Βηλ ὁ κατεσθίων ταῦτα, ἀποθανοῦμαι καὶ πάντες οἱ παρ᾽ ἐμοῦ.
ἦσαν δὲ τῷ Βηλ ἱερεῖς ἑβδομήκοντα χωρὶς γυναικῶν καὶ τέκνων.
10 11 [10]ἤγαγον δὲ τὸν βασιλέα εἰς τὸ εἰδώλιον. [11]καὶ παρετέθη τὰ βρώ-
ματα ἐνώπιον τοῦ βασιλέως καὶ τοῦ Δανιηλ, καὶ οἶνος κερασθεὶς εἰσ-
ηνέχθη καὶ παρετέθη τῷ Βηλ. καὶ εἶπεν Δανιηλ Σὺ αὐτὸς ὁρᾷς
ὅτι κεῖται ταῦτα, βασιλεῦ· σὺ οὖν ἐπισφράγισαι τὰς κλεῖδας τοῦ
13 14 ναοῦ, ἐπὰν κλεισθῇ. [13]ἤρεσε δὲ ὁ λόγος τῷ βασιλεῖ. [14]ὁ δὲ Δανιηλ
ἐκέλευσε τοὺς παρ᾽ αὐτοῦ ἐκβαλόντας πάντας ἐκ τοῦ ναοῦ κατα-
σῆσαι ὅλον τὸν ναὸν σποδῷ οὐθενὸς τῶν ἐκτὸς αὐτοῦ εἰδότος.
καὶ τότε τὸν ναὸν ἐκέλευσε σφραγίσαι τῷ τοῦ βασιλέως δακτυλίῳ
καὶ τοῖς δακτυλίοις τινῶν ἐνδόξων ἱερέων· καὶ ἐγένετο οὕτως.
15/17 [15–17]καὶ ἐγένετο τῇ ἐπαύριον παρεγένοντο ἐπὶ τὸν τόπον· οἱ δὲ
ἱερεῖς τοῦ Βηλ διὰ ψευδοθυρίδων εἰσελθόντες κατεφάγοσαν πάντα
τὰ παρακείμενα τῷ Βηλ καὶ ἐξέπιον τὸν οἶνον. καὶ εἶπεν Δανιηλ
Ἐπίδετε τὰς σφραγῖδας ὑμῶν εἰ μένουσιν, ἄνδρες ἱερεῖς· καὶ σὺ

9 εμου (cf. 14 et Johannessohn Präp. p. 229)] εμοι 88c || 14 κατασησαι Sw. (cf. θ′)] -στησαι 88 Sy | τοτε] + σφραγισαμενος uel sim. 88 Sy: quod deleui

---

νέσθω κατὰ τὸ ῥῆμά σου. καὶ ἦσαν ἱερεῖς τοῦ Βηλ ἑβδομήκοντα θ′
10 ἐκτὸς γυναικῶν καὶ τέκνων. [10]καὶ ἦλθεν ὁ βασιλεὺς μετὰ Δανιηλ
11 εἰς τὸν οἶκον τοῦ Βηλ. [11]καὶ εἶπαν οἱ ἱερεῖς τοῦ Βηλ Ἰδοὺ ἡμεῖς
ἀποτρέχομεν ἔξω, σὺ δέ, βασιλεῦ, παράθες τὰ βρώματα καὶ τὸν
οἶνον κεράσας θὲς καὶ ἀπόκλεισον τὴν θύραν καὶ σφράγισον τῷ
δακτυλίῳ σου· καὶ ἐλθὼν πρωὶ ἐὰν μὴ εὕρῃς πάντα βεβρωμένα
ὑπὸ τοῦ Βηλ, ἀποθανούμεθα ἢ Δανιηλ ὁ ψευδόμενος καθ᾽ ἡμῶν.
12 [12]αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεισαν ὑπὸ τὴν τράπεζαν κε-
κρυμμένην εἴσοδον καὶ δι᾽ αὐτῆς εἰσεπορεύοντο διόλου καὶ ἀνήλουν
13 αὐτά. [13]καὶ ἐγένετο ὡς ἐξήλθοσαν ἐκεῖνοι, καὶ ὁ βασιλεὺς παρέθη-
14 κεν τὰ βρώματα τῷ Βηλ. [14]καὶ ἐπέταξεν Δανιηλ τοῖς παιδαρίοις
αὐτοῦ καὶ ἤνεγκαν τέφραν καὶ κατέσησαν ὅλον τὸν ναὸν ἐνώπιον
τοῦ βασιλέως μόνου· καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύραν καὶ ἐ-
15 σφραγίσαντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον. [15]οἱ δὲ
ἱερεῖς ἦλθον τὴν νύκτα κατὰ τὸ ἔθος αὐτῶν καὶ αἱ γυναῖκες καὶ
16 τὰ τέκνα αὐτῶν καὶ κατέφαγον πάντα καὶ ἐξέπιον. [16]καὶ ὤρθρισεν
17 ὁ βασιλεὺς τὸ πρωὶ καὶ Δανιηλ μετ᾽ αὐτοῦ. [17]καὶ εἶπεν ὁ βασιλεύς

9 ιερεις] pr. οι A | εκτος] χωρ(ε)ις Apau. | τεκνων] παιδιων Apau. || 11 ψευδομενος] ψευσαμ. A || 12 κατεφθονουν A† | δι (non δε) > A† || 14 κατεσησαν (ab κατασηθω)] ει pro η A, κατεστρωσαν mu. | εσφραγισαντο] -σαν A | εν > A || 16 το > Bpau. || 17 ο βασ. > B†